24/12/2020

# Μήνυμα Χριστουγέννων προς τους αδελφούς των εσυνάξεων

/ Αγιορείτικα



**Ολόθερμο και εκ βάθους καρδίας Χριστουγεννιάτικο Μήνυμα δημοσιεύεται εκ μέρους του Καθηγουμένου της Ιεράς Μεγίστης Μονής Βατοπαιδίου Αρχιμ. π. Εφραίμ με αποδέκτες όλους εκείνους τους ευλαβεστάτους αδελφούς παγκοσμίως, οι οποίοι συμμετείχαν στις δεκάδες, πρόσφατες διαδικτυακές συνάξεις – ομιλίες του, κατά τις οποίες ο Γέροντας ομίλησε πάντοτε με διάκριση και απάντησε με υπομονή και ιδιαιτέρα πατρική χαρά σε εκατοντάδες ερωτήσεις – απορίες των συμμετεχόντων.**

ΕΠΙΣΥΝΑΠΤΕΤΑΙ ΤΟ ΧΡΙΣΤΟΥΓΕΝΝΙΑΤΙΚΟ ΜΗΝΥΜΑ ΤΟΥ ΚΑΘΗΓΟΥΜΕΝΟΥ ΓΕΡΟΝΤΟΣ ΕΦΡΑΙΜ:

Ἐν τῇ θεοπνεύστῳ ῥήσει τοῦ Εὐαγγελίου *ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν* ἐμπεριέχεται ἅπαν τὸ νόημα τοῦ ἀνεκφράστου καὶ ὑπερφυοῦς Μυστηρίου τῆς Θείας Οἰκονομίας, ἤτοι τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ διὰ τὴν τοῦ ἀνθρώπου θέωσιν.

Ὁ ἐν παραδείσῳ τεθεὶς ἄνθρωπος, ἀπατηθεὶς ὑπὸ τοῦ δολίου ἐχθροῦ καὶ ἀθετήσας τὴν θείαν ἐντολήν, ἐξέπεσε τῆς κατὰ Χάριν υἱοθεσίας καὶ θεομοιώσεως. Ὁ Θεός, ὅμως, τοῦ ἐλέους καὶ τῶν οἰκτιρμῶν, ὁ εἷς τῆς Τριάδος, ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, *μὴ φέρων θεᾶσθαι ὑπὸ τοῦ διαβόλου τυρρανούμενον τὸ γένος τῶν ἀνθρώπων,* ἔκλινεν οὐρανοὺς καὶ εἰσῆλθεν εἰς τὴν τῆς ἀειπαρθένου καὶ παναμώμου Μαρίας εὐλογημένην μήτραν, *φορέσας* τὴν ἡμετέραν σάρκα καὶ  γενόμενος ἄνθρωπος, ὁ Φιλάνθρωπος.

Εὔξησθε, ὅπως, ἐν τῇ μεγάλῃ ἑορτῇ τῆς τοῦ Θεοῦ Λόγου Ἐνανθρωπήσεως, ἔλθῃ ἐφ᾽ ἡμᾶς τὸ πλούσιον Αὐτοῦ ἔλεος καὶ ἐκτυπώτερον βιώσωμεν τὸ ἀνακτηθὲν θεοειδὲς κάλλος τῆς εἰκόνος καὶ γενώμεθα πάντες κατὰ τὰς ἀψευδεῖς Του ἐπαγγελίας τέκνα τοῦ Θεοῦ καὶ Πατρὸς καὶ συγκληρονόμοι Αὐτοῦ ἐν τῇ αἰωνιότητι.

Ἐπὶ δὲ τούτοις διατελοῦμεν μετὰ πολλῆς ἐν Χριστῷ Ἰησοῦ ἐνανθρωπήσαντι ἀγάπης!

Ὁ Καθηγούμενος τῆς Ἱερᾶς καὶ Σεβασμίας
Μεγίστης Μονῆς τοῦ Βατοπαιδίου

† Ἀρχιμ. Ἐφραίμ

καὶ οἱ σὺν ἐμοὶ ἐν Χριστῷ ἀδελφοί

ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ
ΒΑΤΟΠΑΙΔΙΟΥ
ΑΓΙΟΝ ΟΡΟΣ

**Ἐν Βατοπαιδίῳ**
**Χριστούγεννα βκ΄**

Ἐν τῇ θεοπνεύστῳ ῥήσει τοῦ Εὐαγγελίου *ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν* ἐμπεριέχεται ἅπαν τὸ νόημα τοῦ ἀνεκφράστου καὶ ὑπερφυοῦς Μυστηρίου τῆς Θείας Οἰκονομίας, ἤτοι τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ διὰ τὴν τοῦ ἀνθρώπου θέωσιν.

Ὁ ἐν παραδείσῳ τεθεὶς ἄνθρωπος, ἀπατηθεὶς ὑπὸ τοῦ δολίου ἐχθροῦ καὶ ἀθετήσας τὴν θείαν ἐντολήν, ἐξέπεσε τῆς κατὰ Χάριν υἱοθεσίας καὶ θεομοιώσεως. Ὁ Θεός, ὅμως, τοῦ ἐλέους καὶ τῶν οἰκτιρμῶν, ὁ εἷς τῆς Τριάδος, ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, *μὴ φέρων θεᾶσθαι ὑπὸ τοῦ διαβόλου τυραννούμενον τὸ γένος τῶν ἀνθρώπων*, ἔκλινεν οὐρανοὺς καὶ εἰσῆλθεν εἰς τὴν τῆς ἀειπαρθένου καὶ παναμώμου Μαρίας εὐλογημένην μήτραν, *φορέσας* τὴν ἡμετέραν σάρκα καὶ γενόμενος ἄνθρωπος, ὁ Φιλάνθρωπος.

Εὔξησθε, ὅπως, ἐν τῇ μεγάλῃ ἑορτῇ τῆς τοῦ Θεοῦ Λόγου Ἐνανθρωπήσεως, ἔλθῃ ἐφ᾿ ἡμᾶς τὸ πλούσιον Αὐτοῦ ἔλεος καὶ ἐκτυπώτερον βιώσωμεν τὸ ἀνακτηθὲν θεοειδὲς κάλλος τῆς εἰκόνος καὶ γενώμεθα πάντες κατὰ τὰς ἀψευδεῖς Του ἐπαγγελίας τέκνα τοῦ Θεοῦ καὶ Πατρὸς καὶ συγκληρονόμοι Αὐτοῦ ἐν τῇ αἰωνιότητι.

Ἐπὶ δὲ τούτοις διατελοῦμεν μετὰ πολλῆς ἐν Χριστῷ Ἰησοῦ ἐνανθρωπήσαντι ἀγάπης!

Ὁ Καθηγούμενος τῆς Ἱερᾶς καὶ Σεβασμίας
Μεγίστης Μονῆς τοῦ Βατοπαιδίου

καὶ οἱ σὺν ἐμοὶ ἐν Χριστῷ ἀδελφοί